ὁ Φιλόσοφος ἐν τετάρτῳ τῶν φυσικῶν, οὐ θαυμαστόν· τὰ γὰρ ἐν τοῖς κτίσμασιν οὐχ ἱκανῶς τὰ ἐν τῷ Θεῷ παριστῶσιν. Ἔοικε μέντοι τούτῳ μᾶλλον ὁ τρόπος, καθ᾽ ὃν λέγεταί τι εἶναι ἐν τῇ κατ᾽ αἰτίαν ἀρχῇ ἄνευ τοῦ ἐν τοῖς κτίσμασι μὴ εἶναι τὴν κατ᾽ οὐσίαν ἑνότητα τῆς τε ἀρχῆς καὶ τοῦ ἐκ τῆς ἀρχῆς.

6. Ὅτι τὰ θεῖα πρόσωπα καὶ κατὰ τὴν δύναμιν | ἴσα εἰσί. Λέγεται f. 214
γὰρ ἐν τῷ κατὰ Ἰωάννην· „Ὅσα ὁ Πατὴρ ποιεῖ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ“· ἕπεται γὰρ ἡ δύναμις τῇ φυσικῇ τελειότητι.

Εἰ δὲ λέγεται μὴ δύνασθαι τὸν Υἱὸν ποιεῖν ἀφ᾽ ἑαυτοῦ οὐδέν, ἀλλ᾽ οὐχ ἀφαιρεῖται δύναμίς τις τοῦ Υἱοῦ, ἣν ὁ Πατὴρ οὐσιωδῶς ἔχει· εὐθὺς γὰρ πρόσκειται τό „Ὅσα ὁ Πατὴρ ποιεῖ, ταῦτα καὶ τὸν Υἱὸν ὁμοίως ποιεῖν“· δείκνυται δὲ μόνον τὸ τὸν Υἱὸν παρὰ τοῦ Πατρὸς ἔχειν τὴν δύναμιν, παρ᾽ οὗ καὶ τὴν φύσιν.

Τὸ δὲ τὸν Πατέρα ἐντέλλεσθαι καὶ διδάσκειν, τὸν δὲ Υἱὸν ἀκούειν, διὰ τὸ κοινωνεῖν τὸν Πατέρα τῷ Υἱῷ τῆς ἐπιστήμης καὶ τῆς θελήσεως, εἰ καὶ μᾶλλον ἐπὶ τὸν Χριστὸν ταῦτα ἀνακτέον κατὰ τὴν ἀνθρωπίνην φύσιν.

## XLIII. — Περὶ ἀποστολῆς.

1. Ὅτι ἁρμόζει τοῖς θείοις προσώποις τὸ ἀποστέλλεσθαι, ὡς ἐν τῷ κατὰ Ἰωάννην λέγεται· „Οὐκ εἰμὶ μόνος, ἀλλ᾽ ἐγὼ καὶ ὁ πέμψας με Πατήρ“. Ὁ γὰρ Υἱὸς οὐ μόνον ἀϊδίως ἐκ τοῦ Πατρὸς πέμπεται ὡς ἐκεῖθεν προϊών, ἀλλὰ καὶ καινόν τινα τρόπον γέγονεν ἐν τῷ κόσμῳ· ἤρξατο γὰρ ἐν αὐτῷ εἶναι καὶ ὁρατῶς διὰ τῆς προσληφθείσης σαρκός, ἐν ᾧ καὶ πρότερον ἀοράτως ἦν, ὡς ἐν τῷ κατὰ Ἰωάννην λέγεται· ἀλλ᾽ οὐ σημαίνεται ὕφεσις τοῦ ἀποστελλομένου. Οὐ γὰρ κατ᾽ ἐξουσίαν ἢ κατὰ βουλήν, ἀλλὰ κατὰ τὴν ἐν ἰσότητι φύσεως πρόοδον ἡ ἀποστολὴ νοεῖται. Ἀλλ᾽ οὐδὲ χωρισμὸς ἐνταῦθα τοῦ πεμπομένου νοεῖται, ὡς ἐν τῇ κατὰ τοπικὴν κίνησιν ἀποστολῇ.

2. Ὅτι ἡ ἀποστολὴ ἢ ἡ πέμψις οὐ πρόοδον μόνον ἐκ τῆς ἀρχῆς σημαίνει, ἀλλὰ καὶ εἰδικὸν τῆς προόδου ὅρον ὁρίζει. Ὅθεν ἡ τοῦ θείου προσώπου ἀποστολὴ χρονική ἐστιν· εἰς γὰρ τὴν κτίσιν ἐστίν, ὡς ἐν δ´ τῆς πρὸς Γαλάτας λέγεται· „Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ“.

4. Ἰστέον δὲ ὅτι, ὡς οὐκ ἔστιν ἀφ᾽ ἑτέρου ὁ Πατήρ, οὐδὲ ἀποστέλλεται.

5. Ὅτι καὶ ἀοράτως ἀποστέλλεται ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον· διὰ γὰρ τῆς κεχαρισμένον ποιούσης χάριτος ὅλη ἡ Τριὰς ἐνοικεῖ τῇ διανοίᾳ, ὡς ἐν τῷ κατὰ Ἰωάννην· „Ἐλευσόμεθα καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν“. Ἀποστέλλονται δὲ ἀοράτως μόνος ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, διότι αὐτοῖς οὐ τὸ διὰ τῆς χάριτος ἐνοικεῖν μόνον ἁρμόζει, ἀλλὰ καὶ τὸ ἐκ τοῦ Πατρὸς

7 Ioh. 5, 19 20 Ioh. 8, 16 31 Gal. 4, 4 36 Ioh. 14, 23

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

εἶναι, καὶ τοιοῦτοι ὄντες, ἤγουν ἀφ' ἑτέρου, ἐνοικοῦσι διὰ τῆς χάριτος. Ὁ δὲ Πατὴρ ἐνοικεῖ μὴ ἀποστελλόμενος, ὅτι μήδ' ἔστιν ἀφ' ἑτέρου.

f. 214v 6. Γίνεται δὲ ἡ τοιαύτη ἀποστολὴ πρὸς τοὺς ἀξίους | ἐνοικῆσαι αὐτοῖς τὸν Θεὸν καὶ ἀνακαινισθῆναι διὰ τῆς χάριτος.

7. Ὅτι καὶ τὸ ἅγιον Πνεῦμα ὁρατῶς ἀπεστάλη, ἐν εἴδει δηλαδὴ περιστερᾶς. Ἀλλ' ὁ μὲν Υἱός, ὡς ἄνθρωπος ἀληθὴς γεγονώς· ἀρχὴ γὰρ ἦλθεν ἁγιασμοῦ· τὸ δὲ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ὡς τεκμήριον.

Ἰστέον δέ, ὅτι ὁρατῶς ἀπεστάλη οὕτω τὸ Πνεῦμα τὸ ἅγιον· εἰς μὲν τὸν Χριστόν, ἐν τῷ βαπτίσματι, ἐν εἴδει περιστερᾶς διὰ τὸ γόνιμον εἶναι τὸ ζῷον, ἵνα δείξῃ ἐν τῷ Χριστῷ τὴν ἐξουσίαν τοῦ διδόναι πᾶσι τὴν χάριν διὰ τῆς πνευματικῆς ἀναγεννήσεως· ὅθεν καὶ ἡ φωνὴ τοῦ Πατρὸς ἐπεβρόντησεν· „Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός", ἵνα κατὰ τὴν τοῦ Μονογενοῦς ὁμοιότητα καὶ οἱ ἄλλοι ἀναγεννῶνται· ἐν δὲ τῇ μεταμορφώσει, ἐν εἴδει νεφέλης φωτεινῆς, πρὸς τὸ δεῖξαι τὴν λαμπρότητα τῆς διδασκαλίας, δι' ἧς ἡ φυσικὴ καλύπτεται ἄγνοια τῆς διανοίας τῷ φωτὶ τοῦ θείου λόγου καταλαμπομένης· εἰς δὲ τοὺς ἀποστόλους, ἐν εἴδει φυσήματος πρῶτον, πρὸς τὸ δεῖξαι τὴν δύναμιν τῆς διακονίας ἐν τῇ τῶν μυστηρίων διανομῇ· ὅθεν εἴρηται τούτοις· „Ὧν ἂν ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς"· καὶ αὖθις ἐν γλώσσαις πυρίναις πρὸς τὸ δεῖξαι τὸ τῆς διδασκαλίας ἀποτέλεσμα· ὅθεν λέγεται· „Καὶ ἤρξαντο λαλεῖν ποικίλαις γλώσσαις".

Πρὸς δὲ τοὺς ἐν τῇ Παλαιᾷ οὐκ ἔδει ὁρατὴν ἀποστολὴν γεγονέναι· πρότερον γὰρ ἔδει τὴν ὁρατὴν ἀποστολὴν τοῦ Υἱοῦ τελειωθῆναι. Γεγόνασι μέντοι κἀκείνοις ὁραταί τινες ἐπιφάνειαι τῶν θείων προσώπων, αἳ οὐ λέγονται ἀποστολαί· οὐ γὰρ γεγόνασι πρὸς τὸ δεικνύναι διὰ χάριτος ἐνοίκησιν θείου προσώπου, ἀλλὰ πρὸς φανέρωσιν μόνον· διὸ καὶ φανταστικαὶ ἦσαν μόνον, οὐ σωματικαὶ αἱ προφητικαὶ θεωρίαι.

Εἴρηται περὶ τῶν θείων προσώπων.

## Traité de la Création.

*ΝΥΝ ΠΕΡΙ ΤΗΣ ΕΚ ΤΟΥ ΘΕΟΥ ΠΡΟΟΔΟΥ ΤΩΝ ΚΤΙΣΜΑΤΩΝ.*

### XLIV.

1.-2. *Ὅτι πάντων αἰτία ποιητική ἐστιν ὁ Θεός, ὡς ἐν ἑνδεκάτῳ τῆς πρὸς Ῥωμαίους· „Ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα"· πάντων γὰρ τῶν διαφερόντων κατὰ τὸ εἶναι, τελειοτέρων τε καὶ ἧττον τελείων, δεῖ αἰτίαν εἶναί τι πρῶτον ὄν, ὃ αὐτὸ καθ' αὐτὸ ὑφεστὼς εἶναί ἐστιν, καὶ τοιοῦτον ὂν ἀκολούθως καὶ ἕν ἐστιν. Ὅθεν καὶ Πλάτων εἶπεν·*

---

**8 Scholarios ajoute ici en marge:** *Σημείωσαι* **A 18** *ὧν ἂν* **corrigé de** *ὡσανεὶ* **A Ioh. 20, 23 20 Act, 2, 4 30 en marge dans A:** *Περὶ δημιουργίας* **33 |Rom. 11, 36**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„Ἀνάγκη πρὸ παντὸς πλήθους μονάδα τιθέναι“· καὶ Ἀριστοτέλης· „Τὸ μάλιστα ὂν καὶ μάλιστα ἀληθές, αἴτιον παντὸς ὄντος καὶ παντὸς ἀληθοῦς, ὡς τὸ μάλιστα θερμὸν παντὸς θερμοῦ αἴτιόν ἐστιν“. | f. 215 Ἔστι δὲ αἴτιος ὁ Θεὸς οὐ μόνον τῶν οὐσιῶν, ἀλλὰ καὶ τῶν σχέσεων ἑπομένως· καὶ τῶν ἀναγκαίων, ὡς αὐτοῦ γε μὴ ὄντος, οὐδ᾿ ἂν ἐκείνων ὄντων· καὶ τῶν μαθηματικῶν, κατὰ τὸ εἶναι, καθὸ οὐ δύνανται ἀφαιρεῖσθαι· θεωρητὰ γάρ εἰσιν ἢ ἀφαιρετά· διὸ καὶ ἐν ταῖς μαθηματικαῖς ἐπιστήμαις οὐδὲν δείκνυται δι᾿ αἰτίας ποιητικῆς ὡς, εἰ καὶ ποιητικὴν ἔχουσιν, ἀλλ᾿ οὐ θεωρουμένων ταῖς ἐπιστήμαις τῇ πρὸς τὴν τοιαύτην αἰτίαν σχέσει. Ἔτι καὶ τῶν συμβεβηκότων αἴτιος ἑπομένως, καὶ τῆς πρώτης ὕλης, καὶ παντὸς ὁπωσοῦν ὄντος καὶ τοῦ εἶναι μετέχοντος.

3. Ὅτι οὐδὲν ἄλλο παρὰ τὸν Θεόν ἐστι παραδειγματικὴ αἰτία τῶν ὄντων. Ἡ γὰρ θεία σοφία, πρώτη πάντων ἀρχή, ἡ τὴν τοῦ παντὸς τάξιν ἀνελογίσατο, τὴν ἐν τῇ διακρίσει τῶν ὄντων ὑφεστηκυῖαν, καὶ διὰ τοῦτο ἐν αὐτῇ εἰσιν οἱ λόγοι τῶν ὄντων, οὓς ἰδέας προέφημεν, πολλαπλασιαζόμενοι μὲν καὶ πρὸς τὰ ὄντα, πραγματικῶς δὲ τῆς θείας οὐσίας μὴ διακρινόμενοι διὰ τὸ διαφόρως ὑπὸ διαφόρων μετέχεσθαι μίαν αὐτῆς μιᾶς οὔσης ὁμοιότητα· καὶ οὐχ ἰδέας ὑφεστῶτά τινα νοοῦντες παρὰ τὸν Θεόν, ὡς οἱ ἀρχαῖοι, οὐ συμπίπτομεν τῇ φαύλῃ περὶ τῶν ἰδεῶν δόξῃ Ὠριγένους καὶ τῶν ὁμοίων.

4. Ὅτι ὁ Θεός ἐστιν αἰτία πάντων τελική, ὡς ἐν ἑνδεκάτῳ τῶν Παροιμιῶν· „Πάντα δι᾿ ἑαυτὸν ὁ Κύριος ἐποίησεν“. Πᾶν γὰρ τὸ ποιοῦν ἕνεκα τέλους ποιεῖ· εἰ δὲ μή, οὐ μᾶλλον ἂν τοῦτο ἢ ἐκεῖνο εἵπετο τῇ τοῦ ποιοῦντος ἐνεργείᾳ, πλὴν ἀπὸ ταὐτομάτου. Τῷ δὲ πρώτως ποιοῦντι, ὅπερ ποιοῦν ἐστι μόνον ὡς τελείως ποιοῦν, οὐ συμβαίνει ποιεῖν τῷ τυχεῖν ἐφίεσθαί τινος τέλους· βούλεται καὶ μόνον τοῖς ἄλλοις κοινωνεῖν τῆς ἑαυτοῦ τελειότητος, ὅπερ ἐστὶν ἡ ἀγαθότης αὐτοῦ. Καὶ τῶν κτισμάτων ἕκαστον βούλεται τυχεῖν τῆς ἑαυτοῦ τελειότητος, ἥτις ἐστὶν ὁμοιότης τῆς θείας τελειότητός τε καὶ ἀγαθότητος, καὶ οὕτως ἡ θεία ἀγαθότης πάντων τέλος ἐστίν.

## XLV.

1. Ὅτι δημιουργεῖν ἐστι τὸ ἐκ μηδενός τι ποιεῖν, καὶ ἔστι τὸ δημιουργεῖν πρόοδος ὅλου τοῦ εἶναι ἐκ τοῦ μὴ ὄντος, ὅπερ ἐστὶν οὐδέν, τῆς **ἐκ** προθέσεως ἐνταῦθα οὐχ ὑλικὴν αἰτίαν σημαινούσης, ἀλλὰ τάξιν μόνον, ὡς ἐκ τοῦ ὄρθρου ἤτοι μετὰ τὸν ὄρθρον ἡ μεσημβρία· καὶ ὑλικὴν δὲ ἴσως, ἀλλ᾿ ἀποφασκομένην ἐν διανοίᾳ ἀντεστραμμένῃ, ἤγουν τὰ ὄντα γέγονεν ἐκ τοῦ μηδενός, ὅτι οὐ γεγόνασιν ἔκ τινος.

5. Ὅτι τὸ δημιουργεῖν μόνου ἐστὶ τοῦ Θεοῦ. Αὐτὸς γὰρ μόνος προάγει

---

**22** Prov. 16, 4

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

f. 215v ἀπολελυμένως τὸ εἶναι οὐ καθόσον τοῦτο ἢ ἐκεῖνο· | τοῦτο δὲ τῷ τῆς δημιουργίας ἀνήκει λόγῳ· τινὶ δὲ τῶν κτισμάτων ἀδύνατον ἁρμόζειν τὸ δημιουργεῖν ἢ ἰδίᾳ δυνάμει, ἢ ὀργανικῶς, ἢ ὑπουργικῶς, ἀλλὰ πάντα ποιοῦσιν ἐκ προϋποκειμένου, ἢ προϋποκειμένου τινός, ὅπερ ἐναντίον τῷ τῆς δημιουργίας λόγῳ· καὶ ὅτι τὸ ἐκ μηδενὸς δημιουργεῖν ἀπείρῳ προσήκει δυνάμει· δημιουργεῖ γὰρ ἡ τοιαύτη δύναμις ἐκ μηδεμιᾶς προϋποκειμένης δυνάμεως, ὡς ἡ τοῦ πρώτου ποιοῦντος δύναμις. Οὐδεμία δέ ἐστιν ἀναλογία τῆς οὐδεμιᾶς δυνάμεως πρὸς τὴν τινα, ἣν προϋποτίθησιν ἡ παντὸς τοῦ φύσει ποιοῦντος δύναμις, ὥσπερ οὐδὲ τοῦ μὴ ὄντος πρὸς τὸ ὄν. Εἰ οὖν οὐδὲν κτίσμα δύναμιν ἄπειρον ἔχει, οὐδὲ δημιουργεῖν δύναται.

6. Ὅτι τὸ δημιουργεῖν οὐκ ἴδιον ἑνὸς προσώπου, ἀλλ' ὅλῃ τῇ Τριάδι προσήκει. Τὰ γὰρ αἰτιώδη κοινὰ τῆς ὅλης θεότητος ὁ ἱερὸς ἔφη Διονύσιος. Ἐνήργησε δὲ ὁ Πατὴρ πᾶσαν τὴν κτίσιν διὰ τοῦ Λόγου, εἴτουν τοῦ Υἱοῦ. Καὶ ἔταξε διὰ ἀγάπης, ἥτις ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον· τῷ μὲν γὰρ Πατρὶ |ἰδίως ἀποδίδοται ἡ δύναμις, ἥτις ἐν τῷ δημιουργεῖν φανεροῦται, καὶ διὰ τοῦτο ἀφώρισται τῷ Πατρὶ τὸ ποιητὴν εἶναι· τῷ δὲ Υἱῷ, ἡ σοφία, δι' ἧς ποιεῖ τὸ διὰ νοῦ ἐνεργοῦν, καὶ διὰ τοῦτο λέγεται περὶ τοῦ Υἱοῦ· „Δι' οὗ πάντα ἐγένετο“· τῷ δὲ ἁγίῳ Πνεύματι ἡ ἀγαθότης, ᾧ ἀποδίδοται ἡ κυβέρνησις τῶν ὄντων εἰς τὰ προσήκοντα τέλη αὐτὰ διεξάγουσα, καὶ ἡ ζωοποίησις· ἡ γὰρ ζωὴ ἐν τῇ ἔνδοθεν κινήσει συνίσταται· ἡ δὲ κινοῦσα ἀρχὴ τὸ τέλος ἐστὶ καὶ τὸ ἀγαθόν.

7. Ὅτι ἐν μὲν τοῖς λογικοῖς κτίσμασιν εὑρίσκεται ἡ τῆς Τριάδος ὁμοιότης, κατὰ τὸν τῆς εἰκόνος τρόπον, καθόσον ἐν αὐτοῖς καὶ λόγος εὑρίσκεται συλληφθεὶς καὶ ἀγάπη προϊοῦσα· ἔχουσι γὰρ καὶ νοῦν καὶ βούλησιν· ἐν δὲ τοῖς λοιποῖς κτίσμασι, κατὰ τὸν τοῦ ἴχνους τρόπον. Εὑρίσκονται γὰρ καὶ ἐν αὐτοῖς ἔνια, ἅπερ οἷόν τέ ἐστιν ἀνάγεσθαι εἰς τὴν Τριάδα ὡς εἰς αἰτίαν. Καθὸ γὰρ ἕκαστον οὐσία ἐστίν, αἰτίαν παρίστησι καὶ ἀρχήν, καὶ οὕτω τὸ τοῦ Πατρὸς δείκνυσι πρόσωπον, ὅς ἐστιν ἀρχὴ οὐκ ἐξ ἀρχῆς· καθὸ δέ τινα μορφὴν ἔχει καὶ εἶδος, παριστᾷ τὸν Λόγον, ἐπεὶ καὶ τὸ τοῦ τεχνητοῦ εἶδος ἐκ τῆς νοήσεως τοῦ τεχνίτου ἐστίν· καθόσον δὲ ἔχει τάξιν, παριστᾷ τὸ Πνεῦμα τὸ ἅγιον καθ' ὅσον ἐστὶν ἀγάπη· ἡ γὰρ πρὸς ἕτερόν τι τοῦ ἀποτελέσματος τάξις ἐκ τῆς θελήσεως τοῦ ποιοῦντός ἐστιν, καὶ διὰ τοῦτο φησὶν Αὐγουστῖνος ἐν ἕκτῳ περὶ Τριάδος, ὅτι ἐν ἑκάστῳ τῶν κτισμάτων ἴχνος τι τῆς Τριάδος εὑρίσκεται. Ἀλλὰ μὴν
f. 216 | καὶ ἕκαστον τῶν κτισμάτων συνέστηκε μὲν διὰ τῆς οὐσίας, διακρίνεται δὲ τῷ εἴδει, συμφωνεῖ δὲ διὰ τῆς τάξεως, ὥστε καὶ διὰ τῶν τριῶν τούτων ἐκεῖσε ἀνάγεται, καὶ ἄλλοις πολλοῖς, ἃ ἐνυπάρχουσι τοῖς ποιήμασιν ἀγαθὰ ἐκ τῆς μιᾶς καὶ πρώτης αἰτίας. Ἡ γοῦν ἐν ἀνθρώπῳ πρὸς τὴν Τριάδα

---

14 ἔταξε: lecture douteuse

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὁμοιότης, εἰκόνος λέγεται διὰ τὸ ἐμφαίνεσθαι αὐτῇ τὴν αἰτίαν ὅσον πρὸς τὴν ὁμοιότητα τοῦ εἴδους αὐτῆς, ὥσπερ τὸ γεννηθὲν θερμὸν ἐμφαίνει τὸ γεννῆσαν πῦρ, ἢ ὁ τοῦ Ἑρμοῦ ἀνδριάς, τὸν Ἑρμῆν. Ἡ δὲ ἐν τοῖς ἄλλοις ἀποτελέσμασι τοῦ Θεοῦ, ὁμοιότης ἴχνους λέγεται, διότι οὐ τὸ εἶδος παρίστησιν, ἀλλὰ μόνον τὸ αἰτιῶδες, καὶ ἴχνους παράστασις εὐλόγως λέγεται, διότι τὸ ἴχνος δείκνυσι κίνησίν τινος παριόντος, ἀλλ' οὐκ ἐκεῖνον, οἷός ἐστιν.

8. Ὅτι ἡ δημιουργία οὐκ ἀναμίγνυται τοῖς τῆς φύσεως ἢ τῆς τέχνης ἔργοις, ἀλλὰ προϋπόκειται. Τὸ γὰρ γίνεσθαι καὶ τὸ δημιουργεῖσθαι τῷ ὑφεστῶτι μόνῳ κυρίως ἁρμόζουσιν, ὅπερ ἐστὶ τὸ σύνθετον, γινόμενον ἐξ ὕλης ὑπὸ τοῦ φύσει ποιοῦντος· τὸ δὲ εἶδος οὐ δημιουργεῖται ἢ γίνεται ἀλλὰ συνδημιουργεῖται, ἀρχόμενον εἶναι ἐνεργείᾳ ἐν τῷ συνθέτῳ, ἀλλ' οὐ γινόμενον καθ' αὑτό. Εἰ δὲ τὰ φύσει γινόμενα κτίσματα λέγονται, τοῦτ' ἔστι διότι ἡ τῆς φύσεως ἐνέργεια ἐκ τοῦ προϋποκεῖσθαι τὰς κτιστὰς ἀρχάς ἐστιν. Οἱ δὲ λέγοντες δημιουργεῖσθαι τὸ φύσει γινόμενον ἀγνοίᾳ τοῦ ὅτι τὸ εἶδος τὸ φυσικὸν οὐκ ἔστιν ὑφεστώς, ἀλλ' ᾧ τί ἐστιν, ἁμαρτάνουσιν, οἳ μὲν αὐτῶν ἀνυπάρχοντα τὰ εἴδη τῇ ὕλῃ κεκρύφθαι λέγοντες, οἳ δέ, ὑπὸ τοῦ χωριστοῦ ποιοῦντος δημιουργεῖσθαι. Ἀλλὰ καὶ Αὐγουστῖνος διακρίνει τὸ τῆς διαδοχῆς ἔργον, ὅπερ ἐστὶ τῆς φύσεως, τοῦ ἔργου τῆς κτίσεως.

---

## Extraits de la Somme contre les Gentils.

### Ὅτι οὐκ ἐξ ἀϊδίου ἡ κτίσις (1).

1. Ὅτι οὐκ ἀνάγκη, εἰ ὁ Θεὸς ἀΐδιος, καὶ τὰ κτίσματα ἀΐδια εἶναι. Οὔτε γὰρ ἔκ τινος ἀνάγκης ποιεῖ ὁ Θεός· οὐκ ἄρα ἀπολελυμένως ἀνάγκη τὰ κτίσματα ἐκ τῆς ποιητικῆς εἶναι αἰτίας· οὔτε τὸ τέλος τῆς θείας θελήσεως, ἐξ ἧς τὰ ὄντα, ἕτερόν ἐστι τῆς αὐτοῦ ἀγαθότητος· αὕτη δὲ οὔτε κατὰ τὸ εἶναι ἁπλῶς ἤρτηται τῶν κτισμάτων, καθ' αὑτὴν οὖσα ἐξ ἀνάγκης, οὔτε κατὰ τὸ εὖ εἶναι, καθ' αὑτὴν οὖσα τελεία ἁπλῶς. Οὔτε ἄρα ἀπὸ τῆς ποιητικῆς αἰτίας, οὔτε ἀπὸ τῆς τελικῆς δύνανται λαμβάνειν τὰ ὄντα τὴν ἀνάγκην τοῦ ἀεὶ εἶναι.

Ἄλλως τε, τὸ ἐξ ἀνάγκης προϊὸν τοῦ θελήσει ποιοῦντος τῷ λόγῳ τοῦ δέοντος πρόεισιν· ὁ δὲ Θεὸς κατ' οὐδένα τρόπον τοῦ δέοντος τὰ κτίσματα παρήγαγεν, εἰ ἀπολελυμένως ἡ καθόλου αὐτῶν παραγωγὴ θεωροῖτο.

Ἔτι, οὐδὲν | κωλύει τὴν μὲν ἐνέργειαν τοῦ Θεοῦ ἀΐδιον εἶναι, τὸ δ' ἀπο- f. 216v

---

22 Ce titre ne se trouve pas dans le texte, mais en marge seulement A

(1) Ici renvoi à la note suivante, écrite au bas du f.: *Σημ. — ἐκ τοῦ κατὰ Ἑλλήνων ταῦτα, ἕως τοῦ τῆς (σελήνης) σημείου;* voir plus loin, p. 383, ligne 35. Scholarios abandonne ici pour un instant la *Somme théologique*, et fait quelques emprunts à la *Somme contre les Gentils*, spécialement livre II, chap. 31, 46 sq.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τέλεσμα, ὅτε ἐξ ἀϊδίου προώρισεν. Τὸ γὰρ θελήσει ἢ τέχνῃ ποιοῦν οὐ μόνον ὅπως τοιοῦτον γένοιτο τὸ ἔργον ἀφορίζει, ἀλλὰ καὶ ὁπότε, ὡς τὸ πόμα ὁ ἰατρός.

Ἀλλὰ καὶ ἡ ὑπεροχὴ τῆς θείας θελήσεως πρὸς τὴν κτίσιν ἐκ τοῦ μὴ ἀεὶ εἶναι τὰ κτίσματα μάλιστα φαίνεται, ἐναργεστάτου ἐντεῦθεν γινομένου, ὅτι πάντα τὰ ἄλλα αὐτὸν ἔχουσι τοῦ εἶναι δημιουργόν, καὶ ὅτι ἡ δύναμις αὐτοῦ οὐ δουλεύει πρὸς τὸ παράγειν τὰ τοιαῦτα ἀποτελέσματα, ὥσπερ ἡ φύσις πρὸς τὰ φυσικά.

## Περὶ νοερῶν οὐσιῶν.

Ὅτι πρὸς τὴν τοῦ παντὸς τελειότητα ἔδει εἶναι κτίσματα νοερά, ἐν τῇ ἐσχάτῃ τῶν ὄντων κορυφῇ καθεστῶτα, καὶ εἰς τὴν ἀρχὴν αὐτῶν ἐπιστρεπτικά, ὡς ὁ κύκλος, πάντων σχημάτων τελειότατος, καὶ ἡ κυκλοφορικὴ κίνησις, τῶν ἄλλων κινήσεων. Ἐπιστρέφουσι δὲ εἰς τὴν ἑαυτῶν ἀρχὴν μάλιστα πάντων τὰ νοερὰ καὶ κατὰ τὸ εἶναι καὶ κατὰ τὸ νοεῖν, ἐπεὶ ὁ θεῖος νοῦς ἀρχή ἐστιν, ὡς δέδεικται, τῆς τῶν πραγμάτων παραγωγῆς.

Οὐκ ἔστι ἡ νοερὰ οὐσία σῶμα· οὐδὲν γὰρ σῶμα δύναται ἑτέρου σώματος οὐσιῶδες εἶδος λαβεῖν, μὴ πρότερον φθαρέντος τοῦ ἑαυτοῦ· ὁ δὲ νοῦς οὐ φθείρεται ἀλλὰ καὶ τελειοῦται τὰ πάντων εἴδη λαμβάνων.

Καὶ ὅτι οὐδὲν ἐνεργεῖ εἰ μὴ κατὰ τὸ αὐτοῦ εἶδος. Εἰ τοίνυν ὁ νοῦς σῶμα εἴη, οὐχ ὑπερταθήσεται ἡ τούτου ἐνέργεια τῆς τῶν σωμάτων τάξεως· οὐκ ἄρα νοήσει εἰ μὴ τὰ σώματα· τοῦτο δὲ ψεῦδος· πολλὰ γὰρ νοοῦμεν χωρὶς σώματος.

Ἔτι, ἀδύνατον δύο σώματα ἄλληλα περιέχειν· δύο δὲ νοῖ ἀλλήλους περιέχουσι καὶ καταλαμβάνουσιν, ὅταν ἕτερος τὸν ἕτερον νοῇ.

Ἔτι, οὔτε πεπερασμένον ἂν εἴη οὔτε ἄπειρον σῶμα· ἄπειρον μὲν γὰρ σῶμα οὐδέν ἐστιν ὅλως· πεπερασμένῳ δὲ σώματι ἄπειρον δύναμιν ἐνεῖναι, ἀδύνατον, οἵα ἡ τοῦ νοῦ δύναμις ἐν τῷ νοεῖν αὔξουσα ἐπ' ἄπειρον τὰ εἴδη τῶν σχημάτων καὶ τῶν ἀριθμῶν καὶ τῶν ἀναλογιῶν, καὶ τὰ εἴδη γινώσκουσα, ἃ περιέχει τὰ ἄπειρα ἄτομα.

Ἀκολούθως, καὶ ἄϋλός ἐστιν ἡ νοερὰ οὐσία, εἴπερ τὸ ἐξ ὕλης καὶ εἴδους σῶμά ἐστιν· οὐδεμία δὲ οὐσία νοερά, σῶμα.

Ἀλλ' οὐδὲ ὑλικὸν εἶδός ἐστιν· οὐ γὰρ ἔχει τῆς ὕλης ἠρτημένον τὸ εἶναι ἐν τῇ πρὸς αὐτὴν συνθέσει.

Ἄφθαρτοι δέ εἰσιν αἱ τοιαῦται οὐσίαι, εἴπερ πᾶσα φθορὰ κατά τινα χωρισμὸν ἢ τοῦ οὐσιώδους εἴδους ἐστίν, ἢ τοῦ κατὰ συμβεβηκός· ἐν αὐταῖς δὲ οὐκ ἔστιν ὕλης καὶ εἴδους σύνθεσις.

Ὅτι μόνη ἡ ἀνθρωπίνη ψυχή, νοερὰ οὐσία οὖσα, ὡς εἶδος ἑνοῦται τῷ σώματι, καὶ ἐντελέχεια, καὶ οὐ διὰ τοῦτο ὁ ἀνθρώπινος νοῦς οὐ δύναται λέγεσθαι χωριστός. Ἐν γὰρ τῇ ἀνθρωπίνῃ ψυχῇ ἥ τε οὐσία αὐτῆς

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

θεωρεῖται καὶ αἱ δυνάμεις, καὶ κατὰ μὲν τὴν οὐσίαν αὐτῆς δίδωσι καὶ τῷ σώματι τὸ εἶναι, κατὰ δὲ τὴν δύναμιν τὰς ἰδίας ἐνεργείας ποιεῖ.

Ἔτι οὐ φθείρεται, φθειρομένου τοῦ σώματος· πᾶσά τε γὰρ νοερὰ οὐσία, ἄφθαρτος, | καὶ οὐδὲν ὑπὸ τοῦ τελειοῦντος φθείρεται. Ἡ δὲ f. 217 κατ' ἐπιστήμην καὶ ἀρετὴν τελείωσις τῆς ψυχῆς ἐν ἀποχωρήσει τινὶ τοῦ σώματος προαιρετικὴ γίνεται· πολλῷ μᾶλλον τελειώθησεται ἄρα καὶ οὐ φθαρήσεται καὶ κατ' οὐσίαν χωριζομένη.

Εἰ δὲ καὶ ἡ πρώτη ὕλη, τὸ πανδεχές, ἄφθαρτον κατ' οὐσίαν, πολλῷ μᾶλλον ὁ δυνάμει νοῦς, ὅς πανδεχὴς οὐκ αἰσθητῶν εἰδῶν, ὡς ἡ ὕλη, νοητῶν δέ.

Καὶ τὸ ποιοῦν δὲ τοῦ ποιουμένου τιμιώτερον· ὁ δὲ ἐνεργείᾳ νοῦς ποιεῖ ἐνεργείᾳ νοητά, ἅπερ, ᾗ τοιαῦτα, ἄφθαρτα.

Ἄλλως τε τὸ φθειρόμενον ἢ τῇ ἐνεργείᾳ τοῦ ἐναντίου φθείρεται, ὡς ἡ θέρμη τῷ ψύχει, καὶ τῇ ψυχῇ οὐσίᾳ οὔσῃ οὐδέν ἐστιν ἐναντίον· ἢ τῇ φθορᾷ τοῦ ἰδίου ὑποκειμένου, ὡς ἡ ὅρασις τῇ φθορᾷ τῆς κόρης· ἡ δὲ ψυχή, εἰ καὶ εἶδός ἐστι τοῦ σώματος, ἀλλ' οὐκ ἤρτηται αὐτοῦ τῷ εἶναι, ἢ ἐπιλειπούσης τῆς ἰδίας αἰτίας· ἡ δὲ ψυχὴ οὐκ ἔχει ἰδίαν αἰτίαν, ἀλλὰ τὴν πρώτην πάντων αἰτίαν, ἀΐδιον οὖσαν, καὶ οὐχ ὡς τὸ ἀέρος φῶς, τὸν ἥλιον, οὐ δύντος, σβέννυται.

### Περὶ αἱρέσεως, πότερον, ποσαχῶς ἐστίν.

Ἰστέον ὅτι διχῶς τι πρὸς τὴν πίστιν ἀνήκει· ἕνα μὲν τρόπον, ἄντικρυς καὶ κατὰ προηγούμενον λόγον, ὥσπερ τὰ θεόθεν ἡμῖν ἀρχοειδῶς παραδεδομένα, ὥσπερ τὸ τὸν Θεὸν εἶναι ἑνιαῖόν τε καὶ τριαδικόν, ἢ τὸν Υἱὸν τοῦ Θεοῦ σαρκωθῆναι, καὶ τὰ τοιαῦτα· καὶ περὶ ταῦτα τὸ ψεῦδός τι νομίσαι, αὐτὸ τοῦτο αἱρέσεως αἴτιον, καὶ μάλιστα εἰ τῇ ἀγνοίᾳ καὶ ἔνστασις συμπαραζευγνύοιτο· κατὰ δεύτερον δὲ λόγον εἰς τὴν πίστιν ἀνήκει, ἐξ ὧν ἕπεταί τι ἐναντίον τῇ πίστει, ὡς εἴ τις λέγοι μὴ γενέσθαι τὸν Σαμουὴλ υἱὸν τοῦ Ἐλκανᾶ, ᾧ ἕπεται τὸ τὴν θείαν Γραφὴν εἶναι ψευδῆ. Περὶ τοῦτο τοίνυν ἔξεστιν ἄνευ κινδύνου τινὸς αἱρέσεως ψευδές τι δοξάζειν, πρὶν θεωρῆσαι ἢ νομίσαι ἕπεσθαί τι τῇ πίστει ἐναντίον ἐκ τούτου, καὶ μάλιστα εἰ μὴ μετὰ φιλονεικίας τῇ δόξῃ προσκέοιτο. Μετὰ δὲ τὸ φανερὸν γενέσθαι καὶ μάλιστα διὰ τῆς Ἐκκλησίας ὡρίσθαι ἕπεσθαί τι ἐκ τούτου ἐναντίον τῇ πίστει, ἄνευ αἱρέσεως οὐκ ἔστι περὶ τοῦτο πλανᾶσθαι, καὶ διὰ τοῦτο πολλὰ νῦν νομίζεται αἱρετικά, ἃ πρότερον οὐδαμῶς ἐνομίζετο δι' οὗ τὸ μὴ εἶναι δῆλον τί ἐκ τούτων εἵπετο.

Ἐντεῦθεν ἡ ἀκολουθία τῶν θεολογικῶν αὖθις.

---

**20** *πότερον, ποσαχῶς*, corrigé de *ποτε* A · 36 Ces mots sont écrits en marge avec le signe convenu, conformément à la note précédente, p. 381, l. 37. Scholarios reprend la *Somme théologique* à la question XLVI

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XLVI.

1. Ὅτι τὰ κτίσματα οὐκ ἀεὶ ἦσαν, ἀλλ' ἤρξαντό ποτε τοῦ εἶναι· ἐν γὰρ δεκάτῳ ἑβδόμῳ τοῦ κατὰ Ἰωάννην λέγεται· „Καὶ νῦν δόξασόν με, σύ, Πατέρ, παρὰ σεαυτῷ τῇ δόξῃ ἣν εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί“· καὶ ἐν ὀγδόῳ τῶν Παροιμιῶν· „Ὁ Θεὸς ἐκτήσατό με ἀρχὴν ὁδῶν αὐτοῦ πρὸ τοῦ τὸν κόσμον ποιῆσαι“.

Ἐπειδὴ γὰρ ἡ τοῦ Θεοῦ θέλησις αἰτία τῶν ὄντων, ὡς δέδεικται, οὕτως ἀναγκαῖον εἶναι τινά, ὥσπερ ἀνάγκη καὶ τὸν Θεὸν αὐτὰ θέλειν. Ἀπολελυμένως δὲ οὐδὲν ὁ Θεὸς θέλει πλὴν ἑαυτοῦ. Οὐκ ἄρα ἀνάγκη τὸν
f. 217v Θεὸν θέλειν ἀεὶ εἶναι τὸν κόσμον, | ἀλλὰ τότε αὐτὸν εἶναι, ὅτε ὁ Θεὸς αὐτὸν εἶναι θέλει. Οἱ δὲ λόγοι, οἷς τίθησι τὴν ἀϊδιότητα τοῦ παντὸς Ἀριστοτέλης, ἀποδεικτικοί εἰσιν οὐχ ἁπλῶς, ἀλλὰ κατά τι· ἀντιλέγει γὰρ θέσεσι τῶν ὑποτιθεμένων αὐτὸν ἦρχθαι τρόποις ἐναντίοις τῇ ἀληθείᾳ, ὡς ἐν τετάρτῳ τῶν Φυσικῶν καὶ πρώτῳ τῶν Περὶ οὐρανοῦ προβάλλεταί τινας δόξας, ἤγουν Ἀναξαγόρου, Ἐμπεδοκλέους καὶ Πλάτωνος, καὶ μαρτυρίαις παλαιῶν ἑτέρων ἐρείδεται, ὥστε οὐκ ἀποδείκνυσι· καὶ ἐν πρώτῳ τῶν Τοπικῶν· „Εἰσί, φησί, τινὰ προβλήματα διαλεκτικά, περὶ ὧν οὐκ ἔχομεν λόγους, οἷον τὸ τὸν κόσμον εἶναι ἀΐδιον“.

Τὸ δὲ ἐν πρώτῳ τοῦ Περὶ οὐρανοῦ κείμενον ἐπιχείρημα οὐ συμπεραίνει τὰ ἄφθαρτα μὴ ἄρξασθαι εἶναι ἁπλῶς, ἀλλὰ ὅτι οὐκ ἤρξαντο εἶναι διὰ κινήσεως φυσικῆς, ᾗ ἄρχονται τὰ γεννητὰ καὶ φθαρτά. Καὶ ἐν τῷ πρώτῳ τῶν Φυσικῶν λέγει τὴν ὕλην εἶναι ἀγέννητον διὰ τὸ μὴ ἔχειν οὐσίαν ἐξ ἧς ἂν εἴη· καὶ ἐν τῷ πρώτῳ τῶν Περὶ οὐρανοῦ, τὸν οὐρανὸν ἀγέννητον διὰ τὸ μὴ ἔχειν ἐναντίον ἐξ οὗ ἂν γένοιτο. Ἡμεῖς δὲ φαμὲν αὐτὰ παρῆχθαι εἰς τὸ εἶναι διὰ δημιουργίας.

Ἀλλ' οὐδὲ μεταβολὴ ἕπεται οὔτε τῷ πρώτως κινοῦντι· ὁμοίως γὰρ εἶχεν· οὔτε τῷ πρώτως κινητῷ· ἤρξατο γὰρ εἶναι, μὴ ὂν πρότερον· τοῦτο δὲ δημιουργία· ἡ δὲ οὐκ ἔστι μεταβολή, ὡς προείρηται.

Οὐδέ, εἰ ἀΐδιον ἔχει θέλησιν ὁ Θεὸς τοῦ ποιεῖν τι, καὶ ἀΐδιον αὐτὸ προάγει.

Οὐδὲ φαντασία γοῦν τινος χρόνου μεσολαβεῖ, ὡς ἐν τοῖς μερικῶς ποιοῦσιν, ἃ καὶ χρόνον καὶ ὕλην προϋποτιθέασιν· τὸ δὲ καθόλου ποιοῦν ὁμοῦ τῷ παντὶ καὶ τὸν χρόνον παρήγαγεν ἐν ᾧ τοῦτο ἐποίει. Ἔδωκε γὰρ τῷ ἰδίῳ ἀποτελέσματι χρόνον ὃν ἠθέλησε καὶ οὗ ἔδει πρὸς τὸ τὴν αὐτοῦ δύναμιν φανερωθῆναι, ἣ φαίνοιτ' ἂν μᾶλλον ἐκ τοῦ μὴ ἀεὶ εἶναι τὸν κόσμον· τὸ γὰρ μὴ ἀεὶ ὂν ἀναμφισβήτητον ὡς αἰτίαν ἔχει· περὶ δὲ τοῦ ἀεὶ ὄντος ἀμφισβητοῖτ' ἄν.

Ὁ δὲ χρόνος, ὃς νοεῖται ἐν τῷ τὸν Θεὸν εἶναι πρὸ τοῦ κόσμου, διαρκείᾳ

---

3 Ioh. 17, 5  5 Prov. 8, 22

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

φανταστός ἐστιν, οὐ πραγματικῶς ὑφεστώς, ὥσπερ τῷ λέγειν ὑπὲρ τὸν οὐρανὸν φανταστὸν νοοῦμεν τόπον.

Εἰ δὲ ὑποκειμένης τῆς ἐνεργείας ἕπεται τὸ ἀποτέλεσμα, ἀλλὰ καθὼς ἀπαιτεῖ τὸ εἶδος, ὅπερ ἐστὶ τῆς ἐνεργείας ἀρχή· ἐν δὲ τοῖς θελήσει ποιοῦσι τὸ προληφθὲν καὶ προορισθὲν ὡς εἶδος λαμβάνεται, τῆς ἐνεργείας ὂν ἀρχή. Ἐκ τῆς ἀϊδίου τοίνυν τοῦ Θεοῦ ἐνεργείας οὐκ ἀΐδιον ἀποτέλεσμα ἕπεται, ἀλλ' οἷον ὁ Θεὸς θέλει, ὥστε δηλαδὴ ἔχειν τὸ εἶναι μετὰ τὸ μὴ εἶναι.

2. Ὅτι τὸ ἦρχθαι τὸν κόσμον οὐκ ἀποδεικτικόν ἐστι συμπέρασμα, f. 218 ἀλλὰ τῆς πίστεως ὑπόθεσις, ἣν οὐ δυνατὸν δείκνυσθαι ἀποδείξει, ἀλλὰ πίστει εἰλῆφθαι· πιστεύω γάρ, φαμέν, εἰς ἕνα Θεὸν ποιητὴν οὐρανοῦ καὶ γῆς, ὥσπερ ἔχει καὶ τὸ τῆς Τριάδος μυστήριον. Οὐ δύναται δὲ ἀποδείκνυσθαι ἡ τοῦ κόσμου καινότης οὔτ' ἐξ αὐτοῦ τοῦ κόσμου· ἀρχὴ μὲν γὰρ τῆς ἀποδείξεως, τὸ τί ἦν εἶναι· ἕκαστον δὲ τῷ λόγῳ τοῦ εἴδους ἀφαιρεῖ τοῦ ἐνταῦθα καὶ τοῦ νῦν· ὅθεν ἀδύνατον δείκνυσθαι τὸν κόσμον μὴ εἶναι ἀεί, ἢ τὸν ἄνθρωπον, ἢ τὸν λίθον· οὔτ' ἐκ τῆς νῷ καὶ θελήσει ποιούσης αἰτίας· οὐδεὶς γὰρ λόγῳ ἐξιχνιάσαι τὴν θείαν θέλησιν δύναται. Ὅθεν οὐδὲ χρὴ πειρᾶσθαι ἀποδεικτικοῖς λόγοις τὰ περὶ τούτων τοὺς ἀπίστους πείθειν· ὕλη γὰρ γέλωτος τὰ τοιαῦτα ἂν εἴη αὐτοῖς, νομίζουσιν ἡμᾶς διὰ / τῶν τοιούτων λόγων προστίθεσθαι τοῖς τῆς πίστεως.

3. Ὅτι ἡ τῶν ὄντων κτίσις ἐν τῇ ἀρχῇ τοῦ χρόνου γέγονεν, ὡς τὸ γράμμα λέγει· „Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν". Τὸ δὲ ἐν ἀρχῇ τριχῶς νοεῖται· ἢ ὅτι ἐν τῇ ἀρχῇ τοῦ χρόνου, κατὰ τῶν τιθέντων τὸν κόσμον καὶ τὸν χρόνον ἀΐδιον· ἢ ὅτι ἐν τῷ Υἱῷ, κατὰ τῶν τιθέντων μίαν ἀρχὴν τῶν ἀγαθῶν, καὶ ἄλλην τῶν κακῶν· ἢ ὅτι ἀντὶ τοῦ πρὸ πάντων, κατὰ τῶν τιθέντων τὰ σωματικὰ μεσιτευόντων τῶν ἀσωμάτων γενέσθαι· τέσσαρα γὰρ ὁμοῦ λέγονται δημιουργηθῆναι· ὁ ἔμπυρος οὐρανός, ἡ σωματικὴ ὕλη, τῷ τῆς γῆς ὀνόματι δηλουμένη· ὁ χρόνος, καὶ ἡ ἀγγελικὴ φύσις.

Μετὰ τὴν εἰς τὸ εἶναι τῶν κτισμάτων πρόοδον, θεωρητέον ἂν εἴη περὶ τῆς αὐτῶν διακρίσεως, καὶ πρῶτον καθόλου.

## XLVII. — Περὶ τοῦ πλήθους ἢ τῆς διακρίσεως τῶν ὄντων.

1. Ὅτι τὸ τῶν πραγμάτων πλῆθος καὶ ἡ διάκρισις ἐκ τοῦ Θεοῦ ἐστιν· „Διεχώρισε γάρ, φησίν, ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ τοῦ σκότους καὶ ὕδατα ἐξ ὑδάτων". Τὸ γὰρ τὴν ὕλην αἰτίαν εἶναι τῆς διακρίσεως, ἢ μόνην, ὡς ὁ Δημόκριτος καὶ οἱ ἀρχαῖοι φυσικοὶ πάντες ἐτίθουν, ὡς εἶναι κατ' αὐτοὺς ἐκ ταὐτομάτου τὴν τῶν ὄντων διάκρισιν· ἢ τὴν ὕλην

21 Gen. 1, 1    29 en marge dans A: *Περὶ τῆς διακρίσεως τῶν ὄντων*
34 Gen. 1, 4, 6



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μετὰ τοῦ ποιοῦντος νοῦ, ὡς Ἀναξαγόρας ἐτίθει ἕλκειν τὸν νοῦν τὸ μεμιγμένον τῇ ὕλῃ καὶ διακρίνειν οὕτω τὰ ὄντα, τοῦτο ἅπαν ἀδύνατον· δέδεικται γὰρ καὶ τὴν ὕλην ὑπὸ τοῦ Θεοῦ δεδημιουργῆσθαι. Ὅθεν, εἴ τις διὰ τὴν ὕλην διάκρισις ἐστίν, εἰς ἄλλην αἰτίαν ἀνάγεται. Καὶ ὅτι ἡ τῶν ὄντων διάκρισις κατὰ τὰ ἴδια εἴδη ἐστίν· ἡ δὲ ὕλη διὰ τὸ εἶδός ἐστιν, ἀνείδεος
f. 218v οὖσα ἑαυτῇ, | ἵν' ᾖ ἐπιτηδεία τοῖς διαφόροις εἴδεσιν.

Καὶ τὸ τοῖς δευτέροις ποιητικοῖς ἀποδίδοσθαι τὴν τῶν ὄντων διάκρισιν, ὅ ἐστιν Ἀβινσένου δόξα, λέγοντος, ὅτι ὁ Θεὸς τῷ νοεῖν ἑαυτὸν τὴν πρώτην παράγει νόησιν, ἧς τὸ εἶναι οὐκ ἔστιν αὐτή, καὶ διὰ τοῦτο ἐκ δυνάμεως καὶ ἐνεργείας σύγκειται· αὕτη δὲ ἡ πρώτη νόησις, νοοῦσα μὲν τὴν πρώτην αἰτίαν, τὴν δευτέραν παράγει νόησιν· νοοῦσα δὲ ἑαυτήν, ᾗ μὲν δυνάμει ἐστίν, τὸ τοῦ οὐρανοῦ παράγει σῶμα, ὡς δὲ ἐνεργείᾳ οὖσα, τὴν τοῦ οὐρανοῦ ψυχήν· καὶ τοῦτο τοίνυν ἀδύνατον. Ἀποδέδεικται γὰρ τὸ δημιουργεῖν μόνου εἶναι τοῦ Θεοῦ· ἄλλως τε ἀπὸ τύχης προήει ἂν τὸ πᾶν ὡς ἐν τῇ συνδρομῇ τῶν πολλῶν ποιητικῶν γίνεται, καὶ οὐκ ἐκ τοῦ σκοποῦ τοῦ πρώτου ποιοῦντος. Ἀλλὰ τὸ ἀληθές ἐστιν, ὅτι ἐκ τῆς θείας σοφίας ἐστὶν ἡ τῶν ὄντων διάκρισις, ὅ φησι Μωϋσῆς, τῷ λόγῳ τοῦ Θεοῦ διακεκρίσθαι αὐτά, ὅς σοφίας ἐστὶ σύλληψις· τοῦτο γάρ ἐστι τό· „Εἶπεν ὁ Θεός· γεννηθήτω, καὶ ἐγένετο, καὶ διεχώρισεν ὁ Θεός".

2. Ὅτι αὐτὴ ἡ θεία σοφία καὶ τῆς ἀνισότητος τῶν ὄντων αἰτία ἐστίν. Οὐκ ἂν ἦν τὸ πᾶν τέλειον, εἰ μιᾶς μόνης ἀγαθότητος βαθμὸς ἐν τοῖς οὖσιν ηὑρίσκετο, καὶ διὰ τοῦτο, ὥσπερ ἡ ὑλικὴ διάκρισις ἐκ τοῦ Θεοῦ ἐστίν, ᾗ τὰ ἄτομα διακρίνονται, οὕτω καὶ ἡ εἰδική, ἥτις ζητεῖ τὴν ἀνισότητα διὰ τὸ ὥσπερ ἀριθμοὺς εἶναι τὰ εἴδη τῶν ὄντων, ἐν οἷς τὸ εἶδος ποικίλλεται προσθέσει ἢ ἀφαιρέσει μονάδος.

3. Ὅτι ὁ κόσμος εἷς ἐστι καὶ οὐ πλείους· „Ὁ κόσμος, γάρ, φησί, δι' αὐτοῦ ἐγένετο". Καὶ δῆλον, ὅτι εἷς ἐστι τῇ τῆς τάξεως ἑνότητι, ἄλλων μερῶν αὐτοῦ πρὸς ἄλλα τεταγμένων καὶ [πρὸς] αὐτὸν τὸν Θεόν· οἱ δὲ μὴ σοφίαν τινὰ τάττουσαν αἰτιώμενοι τοῦ κόσμου, ἀλλὰ τὸ αὐτόματον, ὡς Δημόκριτος ἐκ τῆς τῶν ἀτόμων συνδρομῆς, καὶ πλείους ὑπετίθεσαν κόσμους. Ἀριστοτέλης δὲ ἐκ τῆς ἑνότητος τῆς τάξεως τοῦ παντὸς συμπεραίνει τὸ ἑνιαῖον τοῦ διοικοῦντος Θεοῦ, καὶ ὁ Πλάτων ἐκ τῆς τοῦ παραδείγματος ἑνότητος ἀποδείκνυσι τὴν τοῦ κόσμου ἑνότητα, ὥσπερ εἰκασθέντος.

## XLVIII. — Περὶ τοῦ κακοῦ.

1. Ὅτι οὐκ ἔστι φύσις τις τὸ κακόν, ὥς φησι Διονύσιος ἐν τῷ περὶ θείων ὀνομάτων, ὅτι τὸ κακὸν οὐκ ἔστιν ὑφεστώς, οὔτε ἀγαθόν· θάτερον γὰρ τῶν ἀντικειμένων διὰ τοῦ ἑτέρου γινώσκεται· ἐκ δὲ τοῦ λόγου τοῦ

---

**26 Ioh. 1, 10**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀγαθοῦ, τὸ ἐφετόν· πᾶν δὲ ἐφίεται τοῦ ἰδίου εἶναι καὶ τῆς οἰκείας τελειότητος· ὅθεν τὸ εἶναι καὶ ἡ τελειότης ἑκάστου ἀγαθοῦ λόγον ἔχει, | καὶ διὰ τοῦτο τῷ τοῦ κακοῦ ὀνόματι σημαίνεται ἀπουσία μᾶλλον ἀγαθοῦ f. 219
καὶ εἴδους καὶ τοῦ εἶναι. Ὅθεν οὐχ ὑφεστώς ἐστιν, οὔτ' ἀγαθὸν τὸ κακόν, οὔτε ὂν ὅλως, εἰ πᾶν τὸ ὄν, ᾗ τοιοῦτον, ἔστιν ἀγαθόν.

Τὸ δὲ ἐν ταῖς κατηγορίαις, ὅτι τὸ ἀγαθὸν καὶ κακὸν οὐκ ἐν γένει, ἀλλ' αὐτά εἰσιν ἄλλων γένη, τὸ δὲ γένος φύσις τίς ἐστιν, κατὰ τὴν τῶν Πυθαγορείων εἴρηται δόξαν, οἳ τὸ κακὸν φύσιν τινὰ ὑπελάμβανον, ὡς καὶ ἄλλα παραδείγματα ἐν τῇ λογικῇ τίθησιν, ἔνδοξα τοῖς ἄλλοις, οὐχ ἑαυτῷ. Ἢ τὸ ἀγαθὸν καὶ τὸ κακὸν γένη λέγει τῶν ἐναντίων, διότι ἡ ἕξις καὶ ἡ στέρησίς ἐστιν ἡ πρώτη ἐναντιότης, ὡς ἐν τετάρτῳ τῶν μετὰ τὰ φυσικά φησιν· ἐν πᾶσι γὰρ τοῖς ἐναντίοις θάτερον ἀτελές ἐστι τῇ πρὸς τὸ λοιπὸν παραθέσει· καὶ ὡς πᾶν εἶδος ἀγαθοῦ λόγον ἔχει, οὕτω καὶ πᾶσα στέρησις καθὸ τοιαύτη, κακοῦ λόγον.

Εἰ δὲ καὶ ἐν τοῖς ἠθικοῖς διαφορὰ συστατική ἐστι τὸ κακόν, ἀλλ' οὐχ ᾗ κακόν, ἀλλὰ τῷ τοῦ συνεζευγμένου ἀγαθοῦ λόγῳ, οὗ ἀγαθοῦ στοχάζεται ὁ ἐν τῷ ἤθει ἁμαρτάνων, ὥσπερ τέλος τοῦ ἀκολάστου ἐστὶν οὐχὶ τὸ ἐνδεῖν τοῦ κατὰ τὸ ἀγαθὸν λόγου, ἀλλὰ τὸ κατὰ τὴν αἴσθησιν ἡδὺ ἄνευ τῆς πρὸς τὸν λόγον τάξεως· διὸ καὶ ἐκ τοῦ ἠθικοῦ κακοῦ ἐπάνοδος γίνεται πρὸς τὸ ἀγαθόν, ἀλλ' οὐκ ἐκ παντὸς κακοῦ· οὐ γὰρ ἐκ τῆς τυφλότητος.

Εἰ δὲ καὶ ποιεῖν τι λέγεται τὸ κακόν, ἤγουν φθείρειν τὸ ἀγαθόν, οὐ διὰ τοῦτο καὶ φύσις τίς ἐστιν· τὸ γὰρ ποιεῖν τριχῶς λέγεται· ἢ εἰδικῶς, ὡς ἡ λευκότης τὸ λευκὸν ποιεῖ· ἢ ποιητικῶς, ὡς ὁ ζωγράφος ποιεῖ τὸν τοῖχον λευκόν· ἢ τελικῶς, ὡς τὸ τέλος τὸν ποιοῦντα κινεῖ. Ποιεῖ οὖν τὸ κακὸν εἰδικῶς οὐχ ὡς στέρησις, ἀλλὰ κατὰ τὸ ἀγαθόν, ὃ τούτῳ συνέζευκται, ᾗ φησι Διονύσιος, ὅτι τὸ κακὸν οὐκ ἐνεργεῖ, οὔτ' ἐπιθυμεῖται εἰ μὴ τῇ τοῦ συνεζευγμένου ἀγαθοῦ δυνάμει· καθ' αὑτὸ δὲ ἀτελές ἐστι, καὶ παρὰ τὸν σκοπόν, καὶ παρὰ τὴν βούλησιν. Οὕτω φθείρει τὸ ἀγαθὸν τῷ τῆς αὐτοῦ στερήσεως λόγῳ, ὅτι αὐτοῦ τοῦ ἀγαθοῦ ἐστι στέρησις, αἰτιωδῶς δέ, οὐδαμῶς.

2. Ὅτι τὸ κακὸν εὑρίσκεται ἐν τοῖς οὖσιν ἀναγκαίως· ἄλλως γὰρ τὰ κωλύματα πάντα καὶ αἱ δίκαι, τῶν κακῶν οὖσαι, ἀνῃροῦντο ἄν. Ἀπαιτεῖ δὲ καὶ ἡ τοῦ παντὸς τελειότης ὥσπερ τῶν ἀνισοτήτων τῶν ὄντων ἐν τοῖς διαφόροις βαθμοῖς τῆς ἀγαθότητος, οὕτω καὶ τὸ δύνασθαί τινας ἀποπίπτειν τῆς τελειότητος, καὶ ἔνια αὐτῶν καὶ ἀποπίπτειν, ἐν ᾧ ὁ τοῦ κακοῦ συνίσταται λόγος. Εὑρίσκεται οὖν τὸ κακὸν ἐν τοῖς πράγμασιν, ὡς καὶ ἡ φθορά, | κακόν τι οὖσα. f. 219 v

Ἰστέον δέ, ὅτι τὸ κακὸν καὶ τοῦ ἁπλῶς ὄντος καὶ τοῦ ἁπλῶς μὴ ὄντος ἀφίσταται, ὅτι μέθ' ἕξις ἐστίν, οὔτ' ἀπόφασις καθαρά, ἀλλ' ὥσπερ

38 *μέθ' ἕξις* sic A pour *μέθεξις*.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

στέρησις, καὶ ὅτι διχῶς λεγομένου τοῦ ὄντος, ὡς ἐν πέμπτῳ τῶν μετὰ τὰ φυσικά, ὃ σημαίνει τοῦ πράγματος τὴν ὀντότητα, καὶ ὃ σημαίνει τὴν τῆς προτάσεως ἀλήθειαν, ἐν συνθέσει οὖσαν καὶ τῷ ἐστι γνωριζομένην, καὶ τοῦτο τὸ ὄν ἐστι ὃ ἀποκρινόμεθα πρὸς τὴν τοῦ εἰ ἔστι ζήτησιν· κατὰ τὸ δεύτερον σημαινόμενον, πᾶσα στέρησίς ἐστιν ἐν τῷ δεκτικῷ· τοῦτον δὲ τὸν τρόπον καὶ τὸ κακὸν ὂν λέγεται, καὶ ὅτι ὁ Θεὸς καὶ ἐκ τῶν κακῶν εὖ ποιεῖν δυνατός. Ὅθεν πολλὰ ἂν ἀνῃρέθησαν ἀγαθά, εἰ μὴ τὸ κακὸν συνεχώρει· οὐ γὰρ ἂν ἐγίνετο πῦρ, μὴ φθειρομένου ἀέρος· οὔτ' ἂν ἡ τοῦ λέοντος συνετηρεῖτο ζωή, εἰ μὴ ἦν τὸ τὸν ὄνον φονεύεσθαι· οὔτ' ἂν ἔπαινος ἦν δικαιοσύνης, εἰ μὴ ἦν ἀνομία καὶ ἀδικία.

3. Ὅτι ὡς ἐν ὑποκειμένῳ ἐστὶ τῷ ἀγαθῷ· ἀναίρεσιν γὰρ ἀγαθοῦ σημαίνει, οὐκ ἀποφατικῶς· ἦν γὰρ ἂν τὰ μὴ ὄντα, κακά, καὶ τὰ ὄντα αὐτά, διὰ τὸ τόδε τὸ ὂν μὴ ἔχειν ἑτέρου πράγματος ἀγαθόν· ἀλλὰ στερητικῶς, ὥσπερ ἡ τῆς ὄψεως στέρησις λέγεται τυφλότης. Εἴδους δὲ καὶ στερήσεως ὑποκείμενον ἕν ἐστι καὶ ταὐτόν, ὡς τὸ διαφανές, τοῦ φωτὸς καὶ τοῦ σκότους, καὶ ἡ πρώτη ὕλη, εἴδους τε καὶ στερήσεως· τὸ δὲ εἶδός ἐστιν ἀγαθόν, ὡς ἐντελέχεια καὶ τελειότης, καὶ τὸ ὑποκείμενον ἀγαθὸν τῇ πρὸς αὐτὸ τάξει· ὡς γὰρ δυνάμει ὄν, οὕτω καὶ δυνάμει ἀγαθόν. Ἔστι δὲ ἐν ὑποκειμένῳ ἀγαθῷ τὸ κακὸν οὐ τῷ ἀντικειμένῳ αὐτῷ, ἀλλ' ἑτέρῳ τινί· τῆς γὰρ τυφλότητος ὑποκείμενον οὐχ ἡ ὄψις, ἀλλὰ τὸ ζῷον.

4. Ὅτι τὸ κακὸν οὐ δύναται φθείρειν ὅλον τὸ ἀγαθόν. Τριχῶς γὰρ τὸ ἀγαθόν· πρῶτον, τὸ ἀντικείμενον τῷ κακῷ, ὃ διὰ τοῦ κακοῦ παντελῶς ἀναιρεῖται, ὡς τὸ φῶς, διὰ τοῦ σκότους. Δεύτερον, τὸ ὑποκείμενον τῷ κακῷ ἀγαθόν, καὶ ἡ τοῦ ἀέρος οὐσία τῷ σκότει, καὶ τοῦτο οὔτ' ἀναιρεῖται, οὔτ' ἐλαττοῦται. Τρίτον, ἡ τοῦ ὑποκειμένου πρὸς τὴν ἐντελέχειαν ἐπιτηδειότης, ὃ ἐλαττοῦται μέν, οὐκ ἀναιρεῖται δὲ παντάπασιν ὑπὸ τοῦ κακοῦ· ἡ γὰρ ἐπιτηδειότης, μεταξὺ οὖσα τοῦ ὑποκειμένου καὶ τῆς ἐντελεχείας, ᾗ μὲν ἅπτεται τῆς ἐντελεχείας, ἐλαττοῦται τῷ κακῷ· ᾗ δὲ ἔχεται τοῦ ὑποκειμένου, μένει. Δεῖ δὲ τὴν τοῦ ἀγαθοῦ ἐλάττωσιν τὴν τοιαύτην οὐ κατὰ ἀφαίρεσιν λαμβάνειν, ὥσπερ τὴν ἐν τοῖς ποσοῖς ἐλάττωσιν, ἀλλὰ
f. 220 κατὰ τὴν ἐν ταῖς ποιότησι καὶ τοῖς εἴδεσιν ἄνεσιν, | ἥτις γίνεται αὐξομένων ἐν τῷ ὑποκειμένῳ τῶν διαθέσεων, τῶν ἐναντίων ταῖς διατιθείσαις αὐτὸ πρὸς τὴν ἐντελέχειαν.

5. Ὅτι τὸ κακὸν διαιρεῖται εἰς τὴν ἁμαρτίαν καὶ τὴν δίκην ἐν τοῖς ἑκουσίοις θεωρούμενον· ἢ γὰρ ἀφαίρεσίς ἐστι τῆς ὀφειλομένης ἐνεργείας, καὶ ἔστιν ἁμάρτημα· ἢ ἀφαίρεσίς ἐστι τοῦ εἴδους ἢ τῆς ὁλοκληρίας, καὶ λόγον ἔχει ποινῆς.

6. Ὅτι πλέον ἔχει τοῦ λόγου τοῦ κακοῦ ἡ ἁμαρτία· ἡ γὰρ ποινὴ ἐστιν ὅτε ἰατρεία ἐστίν, ἵνα φυλαξώμεθα τὴν ἁμαρτίαν, ὡς ὁ ἰατρὸς τέμνει μέλος, ἵνα μὴ τὸ πᾶν σῶμα φθαρῇ.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## XLIX. — Περὶ τῆς τοῦ κακοῦ αἰτίας.

1. Ὅτι κατὰ τὸν Αὐγουστῖνον ἐν τῷ κατὰ Ἰουλιανοῦ, οὐκ ἔστι παντελῶς ἕτερόν τι, ὅθεν ἠδύνατ' ἂν τὸ κακὸν ἀνακύψαι πλὴν τοῦ ἀγαθοῦ. Δεῖ μὲν γὰρ ἔχειν τινὰ αἰτίαν ἁμηγέπη τὸ κακόν· ἡ γὰρ ἔνδεια ἔκ τινος αἰτίας ἐστὶν ἐξελκούσης τὸ πρᾶγμα τῆς οἰκείας διαθέσεως· τὸ δὲ εἶναι αἰτίαν τῷ ἀγαθῷ προσήκει ὡς ὄντι. Καὶ ὅτι μὲν αἴτιόν ἐστι τῷ ἀγαθῷ τὸ κακὸν ὡς ἡ ὑλικὴ αἰτία, εἴρηται· ὑπόκειται γὰρ τὸ ἀγαθὸν τῷ κακῷ. Εἰδικὴν δὲ αἰτίαν οὐκ ἔχον, στέρησις τοῦ εἴδους ὄν· οὔτε τελικήν, στέρησις ὂν τῆς πρὸς τὸ τέλος τάξεως, ἔχει μέντοι γε ὡς ποιητικήν, οὐ μὴν καθ' αὑτήν, ἀλλὰ κατὰ συμβεβηκός, εἴτε ἐν τῇ ἐνεργείᾳ τοῦ πράγματος εἴη τὸ κακὸν διά τινα ἀσθένειαν τῶν τῆς ἐνεργείας ἀρχῶν, ἢ τοῦ ποιοῦντος εἴτε πρώτως εἴτε ὀργανικῶς, ἢ τῆς κινητικῆς δυνάμεως, ἢ ἐκ μόνης τῆς ἀνεπιτηδειότητος τοῦ ὀργάνου, ὧν τὰ παραδείγματα φανερά, εἴτε ἐν τῷ ἀποτελέσματι εἴη, ὃ γίνεται διὰ τὴν τῆς ἐνεργείας αὖθις ἔνδειαν, τὴν προδιῃρημένην, ἢ διὰ τὴν ἀσθένειαν τῆς ὕλης. Ταῦτα δὲ πάντα κατὰ συμβεβηκός ἐστιν αἴτια τοῦ κακοῦ· πᾶσα γὰρ ἔνδεια καὶ ἀσθένεια ἐν τῷ ποιεῖν συμβαίνει κατὰ συμβεβηκὸς τῷ ἀγαθῷ, ᾧ καθ' αὑτὸ προσήκει τὸ ποιεῖν.

2. Ὅτι ὁ Θεὸς οὐκ ἔστιν αἴτιος τοῦ κακοῦ. Οὐ γάρ ἐστιν ἐν αὐτῷ ἀσθένειά τις, ἀλλὰ τελειότης ἄκρα· ὅθεν τὸ τῆς ἐνεργείας ἀσθενούσης συνιστάμενον κακὸν οὐκ εἰς αἰτίαν ἀνάγεται τὸν Θεόν, ἀλλὰ μόνον τὸ ἐν τῇ τινων φθορᾷ συνιστάμενον. Φανερὸν γὰρ ὅτι τὸ εἶδος, ὅπερ ὁ Θεὸς ἀρχοειδῶς βούλεται ἐν τοῖς οὖσι παράγειν, τὸ τῆς τάξεως τοῦ παντὸς ἀγαθόν ἐστιν, ἥτις ἀπαιτεῖ εἶναί τινα καὶ ἐκλείπειν δυνάμενα, ποτὲ δὲ καὶ ἐκλείποντα, καὶ οὕτως ὁ Θεός, τῷ δημιουργεῖν τὸ τῆς τάξεως τοῦ παντὸς ἀγαθόν, ἑπομένως καὶ ὥσπερ κατὰ συμβεβηκὸς καὶ φθορᾶς αἴτιος γίνεται, ὡς | ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν· „Κύριος θανατοῖ καὶ ζωογονεῖ". f. 220ᵛ
Τὸ δὲ ἐν τῇ Σοφίᾳ· „Ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν", νοεῖται ὡς οὐ καθ' ἑαυτὸν δηλαδὴ τὸν θάνατον βουλόμενος, εἰς δὲ τὴν τοῦ παντὸς τάξιν ἀνήκει καὶ ἡ τῆς δικαιοσύνης τάξις, ἣ ἀπαιτεῖ τὸ τοῖς ἁμαρτάνουσι δίκην ἐπάγεσθαι· καὶ οὕτως ὁ Θεός ἐστιν ἀρχὴ κακοῦ, ὅπερ ἐστὶν ἡ τιμωρία, οὐ μέντοι τοῦ κακοῦ ὅ ἐστιν ἁμαρτία.

3. Ὅτι οὐκ ἔστι τι ἄκρον κακόν, ὅπερ ἐστὶ κακοῦ παντὸς αἴτιον. Τὸ γὰρ ἄκρον ἀγαθὸν δέδεικται αἴτιον παντὸς ὁπωσοῦν ὄντος.

Ἔτι, ὁ τοῦ κακοῦ λόγος μάχεται τῷ λόγῳ τῆς πρώτης ἀρχῆς, πῇ μέν, ὅτι πᾶν κακὸν αἴτιον ἔχει τὸ ἀγαθόν, πῇ δέ, ὅτι καὶ τὸ κακὸν οὐ δύναται εἶναι αἴτιον εἰ μὴ κατὰ συμβεβηκός, καὶ οὕτως οὐ δύναται πρώτη εἶναι αἰτία, εἴπερ ἡ κατὰ συμβεβηκὸς αἰτία ὑστέρα ἐστὶ τῆς καθ' αὑτήν,

---

5-6 *τὸ δὲ εἶναι αἰτίαν* deux fois écrit A    26 I Reg. 2, 6    27 Sap. 1, 13
36 après *αἴτιον* A répète *εἶναι*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὡς ἐν δευτέρῳ τῶν Φυσικῶν. Ἐπλανήθησαν δέ τινες, καὶ δύο ἀρχὰς ἔθεντο ἐκ τοῦ μὴ ἐννοῆσαι τὴν καθόλου αἰτίαν ὅλου τοῦ ὄντος ἀλλὰ τὰς μερικὰς αἰτίας τῶν μερικῶν ἀποτελεσμάτων, καὶ ἐκ τοῦ τὴν περὶ τοῦ ἀγαθόν τι εἶναι κρίσιν μὴ λαβεῖν καθ' αὑτὸ καὶ κατὰ τὴν πρὸς τὸ ὅλον τάξιν, ἀλλὰ κατὰ τὴν πρός τι μερικὸν τάξιν· πᾶν δέ, εἰ καὶ τῇ μερικῇ τάξει ἐνδέχεται μὴ συμφωνεῖν ποτε, ἀλλ' ἐν τῷ ὅλῳ τεταγμένως τὴν ἑαυτοῦ χώραν κατέχει. Εἰ δὲ οὐκ ἔστιν ἐπ' ἄπειρον προϊέναι ἐν ταῖς τῶν κακῶν αἰτίαις, οὐκ ἀνάγκη τιθέναι ἓν πρῶτον κακόν, τῶν ἄλλων αἴτιον, ἀλλὰ δεῖ αὐτὰ εἴς τινα αἰτίαν ἀνάγειν· αὕτη δ' ἂν εἴη ἡ πάντων τῶν ὄντων αἰτία καὶ ἀγαθῶν, ἀγαθὴ οὖσα, ἐξ ἧς προΐασι καὶ τὰ κακὰ κατὰ συμβεβηκός, ὡς προείρηται.

## Traité des anges.

### L. — Περὶ τῶν ἀγγέλων ἀπολελυμένως.

1. Ὅτι ὁ ἄγγελος πάντῃ ἐστὶν ἀσώματος, ὡς ἐν τοῖς Ψαλμοῖς λέγεται· „Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα". Ζητεῖται γὰρ πρὸς τὴν τοῦ παντὸς τελειότητα εἶναί τινα καὶ νοερὰ κτίσματα· τὸ δὲ νοεῖν οὐκ ἔστιν ἐνέργεια σώματος, οὔτε τινὸς δυνάμεως σωματικῆς· πᾶν γὰρ σῶμα ἐνταῦθα καὶ νῦν ὁρίζεται.

2. Ὅτι οὐκ ἔστι σύνθετος ἐξ ὕλης καὶ εἴδους. Ἀδύνατον γὰρ τὴν νοερὰν οὐσίαν οἱᾳδήποτε ὕλῃ συνεῖναι, διότι ἡ ἐνέργεια τῷ τρόπῳ τῆς οὐσίας τοῦ πράγματος συνᾴδει· τὸ δὲ νοεῖν, ἐνέργεια πάντῃ ἄϋλος, ὃ δῆλον ἐκ τοῦ ταύτης ἀντικειμένου, παρ' οὗ πᾶσα ἐνέργεια τὸ εἶδος δέχεται καὶ τὸν λόγον. Οὕτω δὲ ἕκαστον νοεῖται, καθὸ τῆς ὕλης χωρίζεται· καὶ γὰρ τῶν ἐν ὕλῃ ἀτόμων εἰδῶν ὁ νοῦς οὐκ ἐπιλαμβάνεται καθόσον εἰσὶ
f. 221 τοιαῦτα. Ὅθεν ἡ νοερὰ οὐσία καὶ ἄϋλος. | Ἔστι μέντοι γε ἐν τῷ ἀγγέλῳ δύναμις καὶ ἐνέργεια καὶ ἡ κατ' αὐτὰς σύνεσις, ᾗ φασί τινες συγκεῖσθαι τὸν ἄγγελον ἐκ τοῦ ᾧ ἔστιν καὶ ὅ ἐστιν, ἢ τοῦ εἶναι καὶ τοῦ ὅ ἐστιν, ἃ ἐν τῷ Θεῷ μόνῳ οὐ διενήνοχεν, ὃς μόνος ἐνέργεια καθαρά.

3. Ὅτι οἱ ἄγγελοι ἐν πλήθει εἰσὶ πολλῷ, ὡς ἐν τῷ Δανιὴλ λέγεται· „Χίλια χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ", διότι ὅσῳ τινὰ μᾶλλόν εἰσι τέλεια, τοσοῦτον παρὰ Θεοῦ ἐν μείζονι ὑπερβολῇ δεδημιούργηνται. Ὥσπερ δὲ ἐν τοῖς σώμασι κατὰ τὸ μέγεθος ἡ ὑπερβολή, οὕτως ἐν τοῖς ἀσωμάτοις κατὰ πλῆθος δύναται εἶναι. Ὁρῶμεν δὲ τὰ ἄφθαρτα σώματα, τελειότερα τῶν σωμάτων ὄντα, ἀσυγκρίτως κατὰ μέγεθος ὑπερβάλλοντα τῶν σωμάτων τῶν φθαρτῶν· ἡ γὰρ ὅλη σφαῖρα

---

15 En marge, titre en rouge: *Περὶ τῶν ἀγγέλων ἁπλῶς* 17 Ps. 103, 4
32 Dan. 7, 11

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006